Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Exemplum imperialium literarum, quae Ephesum ad sanctam Synodum per Palladiu[m] magistrianum eo fine missae sunt, vt euerterent quae antea per ipsos (Concilii patres) acta fuerant, tamquam de integro ...

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

Ἴσον βασιλικοῦ γράμματος, ἀποσταλέντος ἐν Ἐφέσῳ πρὸς τὴν ἁγίαν σύνοδον διὰ Παλλαδίου μαγιστριανοῦ, ἀνατρέποντος τὰ παρ' αὐτῶν πραχθέντα, ὡς ὀφειλούσης ἄνωθεν γενέσθαι συζητήσεως.

*Exemplum imperialium literarum, quæ Ephesum ad sanctam Synodum per Palladiũ magistrianum eo fine missæ sunt, vt euerterent quæ antea per ipsos (Concilii patres) acta fuerant, tamquam de integro fieri debeat fidei discussio.*

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανὸς, νικηταὶ, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι, τῇ κατ' Ἔφεσον ἁγιωτάτῃ συνόδῳ.

*Imperatores Cæsares, Theodosius & Valentinianus, victores, triumphatores, maximi, semper Augusti, sanctissimæ Synodo Ephesinæ.*

ΤΟΥ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Κανδιδιανοῦ γνωρίσαντος ἡμῖν, μεμάθηκεν ἡ ἡμετέρα εὐσέβεια ταραχωδῶς τινα καὶ παρὰ τὸ προσῆκον κατὰ τὴν Ἐφεσίων γεγονέναι μητρόπολιν, οὔτε πάντων, ὥσπερ ἐδέδοκτο, τῶν θεοσεβεστάτων ἐπισκόπων συνεληλυθότων· καίτοι τοῦ τῆς μεγαλοπόλεως Ἀντιοχείας ἐπισκόπου πλησιάζειν ἤδη σὺν ἑτέροις μητροπολίταις μέλλοντος· οὔτε τῶν ἤδη παραγεγονότων συσκεψαμένων, ἢ ὁμονοησάντων ἀλλήλοις, οὔτε μὴν τὰ περὶ τῆς πίστεως καθ' ὃν ἐχρῆν τρόπον ἐξετασάντων, ἢ ὥσπερ τοῖς * ἐγκαταπεμφθεῖσι θείοις ἡμῶν περιείχετο γράμμασιν· ἀλλὰ ὥστε δήλην εἶναι τὴν τινων πρός τινας ἀπέχθειαν, διὰ πολλὴν τὴν περὶ τὰ ὁπωσοῦν δόξαντα σπουδὴν, οὔτε παρακαλύμματι χρήσασθαι δυνηθέντων. διὸ νομίσειεν ἄν τις λογισμῷ τὰ γεγονότα πεπρᾶχθαι. ὅθεν δέδοκται τῇ ἡμετέρᾳ θειότητι, χώραν μὲν τὴν τοιαύτην μηδαμῶς ἔχειν * ἐξελθεῖν

* ἄλλ. καταπεμφθεῖσι

* ἀναλυθῆναι, ἤτ

MAGNIFICENTISSIMI Candidiani deuotorum domesticorum comitis relatu pietas nostra accepit, quædam in Ephesiorum metropoli per tumultum, ac secus quam conueniat, transacta fuisse. Nam neque omnes, vt decretum erat, piissimi episcopi conuenerunt (cum tamen magnæ Antiochenæ ciuitatis episcopus cum aliis metropolitanis iam appropinquaret) neque illi qui iam venerant, simul consultauerunt, nec inter se consenserunt, neque ea quæ de fide sunt, modo quo oportebat, vel prout continebatur sacris literis nostris, quas subinde misimus, examinauerunt: sed res ita gesta est, vt manifestum euaderet, alios aliis esse infensos ob vehemens studium erga illa, quæ quomodocumq; placita sunt, nec velamen prætendere valentes. Quare quæ gesta sunt, studio acta esse, quilibet existimauerit. Proinde sacræ maiestati nostræ placuit, talem procedendi modum nullum habere locum,

*Falsa Candidiani narratio imperatores decepit.*

*Omnia hæc falsò relata fuerunt imperatoribus, vt ex præcedentibus patet.*



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

*Imperatores ad subreptitiam narrationem rescindunt Cōcilii acta.*

aut momentum: his vero quæ inepte ac citra ordinem gesta sunt, cessantibus, doctrinam de pietate prius, sicuti decretum fuit, discuti, eamque iuxta communem totius Synodi sententiam in posterum obtinere. Neque enim pietas nostra æquo fert animo præiudicia de industria præsumpta: quinimo quæ gesta sunt, vsque adeo ægre fert, vt donec pietatis dogmata ab vniuersa Synodo fuerint examinata, & quispiam e sacro nostro palatio vna cum magnificentissimo Candidiano comite destinetur, qui nostro iussu quæ acta sunt cognoscat, quique quæ legitimo ordini dissentanea sunt, prohibeat, neminem episcoporum qui conuenerunt, ab Ephesiorum ciuitate abscedere, vel ad sacrum nostrum comitatum venire, vel in suam patriam reuerti, vllatenus sit passura. Quod enim nulli hoc liceat, nullusve speret id tuto sibi successurum, hæ literæ sufficient ad denuntiandum pietati vestræ, ne quid aliud præter nostram iussionem iam ante perpetratis in posterum adiiciat. Quin & hoc quoque sanctitatem vestram non lateat, nos illustrissimis prouinciarum præfectis scripsisse, ne vllum prorsus in patriam vel ciuitatem suam nostro iniussu redeuntem admittant. Oportet enim omnia iuxta Dei beneplacitum, contentione seclusa, veritatisque studio adhibito discuti, ac tum demum a vestra pietate confirmationem obtinere: quandoquidem sacra nostra maiestas non tamquam pro hominibus nunc, aut etiam pro sanctissimo piissimoque Nestorio, vel pro alio quopiam solicita est, sed ipsius veritatis, & dogmatis ipsius

αὐθεντίαν· τὴν δὲ ἀνακολούθως γεγονότων ἀργούντων, τὴν περὶ τῆς εὐσεβείας λόγοις, ὥσπερ ἐδέδοκτο, πρότερον ἐξετασθῆναι, καὶ κατὰ τὸ κοινῇ πάσῃ τῇ συνόδῳ δοκοῦν εἰς τὸν ἑξῆς χρόνον κρατεῖν· οὐκ ἀνεχομένης τῆς ἡμετέρας εὐσεβείας τῶν ἐξ ἐπιτηδεύσεως προειλημμάτων· οὕτω δὲ ἐπὶ τοῖς γεγονόσιν ἀγανακτούσης, ὥστε κελεύειν μέχρις ἂν καὶ παρὰ πάσης τῆς συνόδου τὰ τῆς εὐσεβείας ἐξετασθῇ δόγματα, καὶ ἀποσταλῇ τις ἐκ τοῦ θείου ἡμῶν παλατίου ἅμα τῷ μεγαλοπρεπεστάτῳ Κανδιδιανῷ τῷ κόμητι, τὰ πεπραγμένα κατὰ κέλευσιν ἡμετέραν εἰσόμενος, καὶ κωλύσων τὰ ἀνακόλουθα, μηδὲ ἀποστῆναί τινα τῶν συνειλεγμένων ἐπισκόπων τῆς Ἐφεσίων πόλεως, μήτε μὴν ἐπὶ τὸ θεῖον ἡμῶν ἐλθεῖν στρατόπεδον, ἢ ἐπὶ τὴν ἑαυτοῦ πατρίδα ἀναστρέψαι. ὥστε γὰρ μηδενὶ* τοῦτο ἐξεῖναι, μηδὲ ἐλπίζειν ἀδεῶς προβήσεσθαι, ἱκανὰ* μὲν οὖν καὶ ταῦτά ἐστι τῇ ὑμετέρᾳ θεοσεβείᾳ παρεγγυῆσαι τὰ γράμματα, μήτι καὶ ἕτερον παρὰ τὴν ἡμετέραν κέλευσιν τοῖς γεγονόσι προστεθεῖναι. ἴστω δὲ ἡ ἁγιότης ὑμῶν, ὡς καὶ τοῖς λαμπροτάτοις ἄρχουσι τῶν ἐπαρχιῶν ἐπέσταλται, μηδένα παντελῶς ἐάσαι εἰς τὴν ἑαυτοῦ πατρίδα καὶ πόλιν δίχα ἡμετέρας κελεύσεως ὑποστρέψαντα δεχθῆναι. χρὴ γὰρ πάντα κατὰ τὸ τῷ θεῷ μέλλον ἀρέσειν, δίχα φιλονεικίας καὶ μετὰ ἀληθείας ἐξετασθέντα, οὕτω παρὰ τῆς* ὑμετέρας θεοσεβείας βεβαιωθῆναι· ὡς οὐχ ὑπὲρ ἀνθρώπων νῦν, οὐδὲ μέντοι τοῦ ἁγιωτάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Νεστορίου, ἢ ἑτέρου τινός, ὑπὲρ δὲ αὐτοῦ τοῦ δόγματος καὶ τῆς

ANNO CHRISTI 431.

* τῶν

* [illegible]

* ἡμετέρας

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ANNO CHRISTI 431.

ἀληθείας αὐτῆς φροντίδα ποιουμένης τῆς ἡμετέρας θειότητος. ἐδόθη τῇ πρὸ * τριῶν καλανδῶν Ἰουλίων, * ὑπάτου Φλαυίου Ἀντιόχου, καὶ τοῦ δηλωθησομένου.

* δεκατριῶν
* ὑπατείᾳ

curam gerit. Datum * tertio Kalendas Iulias, Flauii Antiochi, & alterius designandi consulatu.

* tertiodecimo

Ἀναφορὰ πρὸς τὸν βασιλέα Ἰωάννου ἀρχιεπισκόπου Ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ, ἣν ἀπέγραψαν διὰ Παλλαδίου μαγιστριανοῦ.

*Ioannis archiepiscopi Antiocheni, ceterorumque qui illi adhærebant, relatio rescripta ad imperatorem per Palladium magistrianum.*

ΤΟΥΤΟ, εὐσεβεῖς βασιλεῖς, τοῦτο ὀρθοδοξίας σύστασις, τὸ λῦσαι πάντα τὰ ἀθέσμως ὑπ' ἐκείνων γεγενημένα, καὶ τοῖς κανόσιν ἤδη παραλελυμένα, τὸ ἐν πρώτῃ τάξει προτάξαι τὴν ἐξέτασιν τῶν δογμάτων ἐν τῇ συνελθούσῃ συνόδῳ γενέσθαι. ἐμακαρίσαμεν τὴν οἰκουμένην, τὰ πρόσφατον ἡμῖν κομισθέντα ὑμῶν θεσπίσματα σὺν ἐπαίνοις μυρίοις ἀναγνόντες, ἐφ' οἵοις σκήπτροις, καὶ ἐφ' οἵᾳ βασιλείᾳ διακυβερνᾶται. ἀλλ' ὥσπερ ταῦτα παντὸς θαύματός ἐστιν ἐπέκεινα, ὅσα προσετάξατε, εὐσεβέστατοι βασιλεῖς, οὕτω καὶ ἡμῖν ἀναγκαία ἐστὶν ἡ πρὸς τὸ ὑμέτερον κράτος ἀπολογία, περὶ ὧν συνηλάθημεν, ἐν τῇ Ἐφεσίων γενόμενοι πόλει, καταψηφίσασθαι καὶ καθελεῖναι τῶν ἐκ προοιμίων τὰ ὑμέτερα πατήσαντας θεσπίσματα· τῶν, ἐπεὶ ὑπὸ τοῦ οἰκείου συνειδότος ἠλαύνοντο, κυρῶσαι θελήσαντας καὶ ἀνανεῶσαι τὰ Ἀπολιναρίου καὶ Ἀρείου δόγματα κατὰ τῆς εὐσεβείας, ἐν οἷς Κύριλλος ὁ Ἀλεξανδρείας πρῴην εἰς τὴν βασιλίδα πόλιν κεφάλαιά τινα μετὰ ἀναθεματισμῶν ἐξέπεμψε μετὰ πάσης ἐθελοθρησκείας· τῶν πρὶν * ἅψωνται τῆς

* ἅψαιντο

HOC, pii imperatores, hoc orthodoxæ fidei fulcimentum est, omnia ab illis illegitime acta euertere & antiquare, quæ etiam per canonicas sanctiones iam ante euersa & antiquata erant; vniuersaque Synodo simul congregata, primo loco dogmatum examinationem instituendam indicere. Sane cum decreta vestra proxime allata non absque magna laudum prædicatione legissemus, orbem terrarum beatum iudicauimus, cui talibus subesse sceptris, talique gubernari contigerit imperio. Verum vt ista quæcumque mandastis, omnem admirationem longe excedunt, imperatores piissimi; ita nobis quoque necessarium illud est, vt vestræ maiestati rationem reddamus, cur in Ephesiorum metropoli constituti, condemnationis sententiam in eos ferre compulsi fuerimus, qui ab ipso statim exordio vestra decreta proculcauerunt: qui propriæ conscientiæ stimulis agitati, Arii, Eunomii, Apollinariiq; dogmata contra pietatem confirmare & innouare voluerunt, per ea quæ Cyrillus olim Alexandriæ episcopus nuper capita scribens cum anathematismis omni superstitione referta ad vrbem regiam misit: qui priusquam

*Rationem redditis multis mendaciis refertam.*

*Cyrilli capita totum oppositum euidēter ostendunt.*